www.tezaurliturgic.ro

†

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΛΕΙΨΑΝΩΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΣΟΦΙΑΣ, ΤΗΣ ΕΝ Ι. Μ. ΚΛΕΙΣΟΥΡΑΣ ΑΣΚΗΣΑΣΗΣ

(ψαλλομένη τῇ 7ῃ Ἰουλίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως * ͵βιδ' * 2014 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# Τῃ Ζ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ ΜΝΗΜΗ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΛΕΙΨΑΝΩΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΣΟΦΙΑΣ ΤΗΣ ΕΝ Ι. Μ. ΚΛΕΙΣΟΥΡΑΣ ΑΣΚΗΣΑΣΗΣ

* * * *

## * ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ *

Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὁ τῆς ζωῆς τὰ ἡνία, διακρατῶν πατρικῶς, καὶ μεριμνῶν ἑκάστου, τῆς ψυχῆς σωτηρίαν, καὶ σὲ μῆτερ Σοφία, ἀῤῥήτοις βουλαῖς, ὥσπερ σκάφος ὡδήγησεν, εἰς τὴν Μονὴν τῆς Πανάγνου τὴν ἱεράν, ὡς εὐλίμενον παράδεισον.

Ἐν πειρασμοῖς πολυτρόπως, καθάπερ πάλαι Ἰώβ, ἐδοκιμάσθης Μῆτερ, προσφιλῶν σου θανάτοις, καὶ πρόσφυξ γενομένη, ἐλπίδα τὴν σήν, τῇ Παρθένῳ ἐπέῤῥιψας, τὴν ὀρφανῶν ἀντιλήπτριαν καὶ χηρῶν, προστασίαν ἀκαταίσχυντον.

Τὴν ματαιότητα βίου, καὶ τῶν προσκαίρων τροπήν, καλῶς εἰδυῖα Μῆτερ, πρὸς πατρίδα τὴν ἄνω, ἐχάραξας πορείαν, ἀσκητικήν, μηδαμῶς ὑποκύψασα, ταῖς πονηραῖς ἐπιθέσεσι τοῦ ἐχθροῦ, ὃν τελείως κατενίκησας.

Ὥς τις φιλέρημος ὄρνις, τῆς Θεοτόκου Μονήν, εὗρες ὡς φωλεάν σου, θεοφόρε Σοφία, νηστείαν ἀκροτάτην, καὶ προσευχήν, ἀδιάλειπτον ἔχουσα, ἁμιλλωμένη Ὁσίαις ταῖς παλαιαῖς, ὑπὲρ φύσιν κατορθώμασι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Διπλῆς ἀγάπης ἐγένου, Σοφία οἴκημα, δι᾽ ἧς Θεὸν πρωτίστως, διηκόνησας πόθῳ, καὶ εἶτα τοὺς ἀνθρώπους, ὡς τέκνα Αὐτοῦ, ἑκουσίως πτωχεύουσα, ἀλλὰ καὶ ζώων ἀλόγων προπτωτικῶς, ὡς ἡ Εὔα καθυπέταξας.

Τὴν ἁγιάζουσαν χάριν, Ἁγίου Πνεύματος, ἥτις ἀνεκφοιτήτως, ἐνοικεῖ σοῖς λειψάνοις, λαμβάνομεν τιμῶντες Σοφία πιστῶς, ὡς κηρύττει Γρηγόριος, Θεσσαλονίκης ὁ μέγιστος Παλαμᾶς, τῆς θεώσεως διδάσκαλος.

Δόξα. Ἦχος β'.

Εὐαγγελίου πληρώτρια γέγονας, ὑπομονὴν χριστοειδῆ ἐπιδείξασα, καὶ τὴν τοῦ βίου πανάλμυρον θάλασσαν, ἀσκητικῶς Σοφία διέπλευσας, τὸν πολυτίμητον Μαργαρίτην σοφῶς ἁλιεύσασα. Τῆς Θεοτόκου γὰρ τὴν Μονήν ὡς νοσσιὰν ἀναπαύσεως εὑραμένη, ὑπὲρ τὴν φύσιν ἀκαταπονήτως ἠγωνίσω, πλήρης ἀγάπης δειχθεῖσα, καὶ ἐξαισίων ἀρετῶν πλοῦτον συνάξασα. Ὅθεν σήμερον, τὴν τῶν τιμίων σου λειψάνων ἀνακομιδὴν ἑορτάζοντες, αἰτούμεθά σου πρεσβεύειν ὑπὲρ ἡμῶν, ὅπως σὺν σοὶ τῆς σωτηρίας τύχωμεν, Μῆτερ ὁσία ἀξιομακάριστε.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς Χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος, οὐκ ἐκαίετο, καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας. Ἀντὶ στύλου πυρός, δικαιοσύνης, ἀνέτειλεν Ἥλιος· ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ Ἀναγνώσματα

Παροιμιῶν τὸ ἀνάγνωσμα.

(ἐκλογή)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν· σκύλων οὐκ ἀπορήσει ἡ τοιαύτη. Εὑραμένη ἔρια καὶ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

λίνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη. Μακρόθεν συνάγει ἑαυτῆς τὸν πλοῦτον καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο. Ἀπὸ δὲ τῶν καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τὰς χεῖρας αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα. Τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Θύραν δὲ αὐτῆς διήνοιξε πένησι. Καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώττῃ αὐτῆς. Στεναὶ διατριβαὶ οἴκων αὐτῆς. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον, πολλαὶ εὗραντο δόξαν. Σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικῶν οὐκ ἔστιν ἐν σοί. Γυνὴ γὰρ συνετὴ εὐλογεῖται. Φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
### (Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*** ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ***

Ψάλλομεν στιχηρὰ ἰδιόμελα
*Ἦχος α'*

Ἀρχὴ σοφίας πέλει ὁ φόβος τοῦ Κυρίου, ὅνπερ καὶ σὺ ὡς βάσιν τοῦ βίου σου θεμένη, Σοφία μακαριωτάτη, εἰς πληρότητα ἔφθασας ἀγάπης, δι᾽ ἧς ἀγγελικῶς ἐπολιτεύσω, ἐν τῆς Κλεισούρας τῇ ἱερᾷ Μονῇ. Ὁσίων γὰρ τὰ ἆθλα οἰκειοποιηθεῖσα, τὴν φύσιν τοῦ θήλεος ὑπερέβης θαυμαστῶς, τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει. Ὅθεν ὅλη ἐξαϋλωθεῖσα, ὡς ἔνσαρκος ἄγγελος πρὸς οὐρανὸν μετέπτης, ἡμῖν καταλιποῦσα τὰ χαριτόβρυτά σου λείψανα, ἅπερ εὐλαβῶς ἀνακομίσαντες κατασπαζόμεθα, αἰτούμενοι τὰς πρὸς τὸν Κύριον δεήσεις σου,
Μῆτερ σοφιώνυμε.

Ἦχος β'.

Τὰς πολυταράχους τοῦ βίου μεταβολάς, ὡς εὐκαιρίας κλίμακα πρὸς τὸν Θεὸν ἀναφέρουσαν εὑροῦσα, τὰ πάντα θεοσόφως ἠρνήσω, καὶ ὡς στρουθίον ἐρημικὸν ὡς στάδιον τῶν ἀρετῶν σου ἐξελέξω τῆς Θεοτόκου τὸ σεμνεῖον, ὁσιωτάτη Μῆτερ Σοφία. Ἔνθα ἀποδυσαμένη τῆς παλαιᾶς Εὔας τὴν δοράν, τοῦ νέου Ἀδὰμ περιεβλήθης τὴν ἀφθαρσίαν, τῇ ἀσκητικῇ σου ἀγωγῇ. Ὅθεν δοχεῖον ἐκλεκτὸν τοῦ Παρακλήτου γενομένη, πρέσβευε τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ, ὑπὲρ ἡμῶν τῶν εὐλαβῶς τιμώντων σε.

Ἦχος γ'.

Τὸ γήϊνον φρόνημα τῆς σαρκὸς ἀσκήσει ἀπενέκρωσας, καὶ ὡς οὐρανοκάρδιον πτηνόν, τὰ ἄνω ἐφρόνεις καὶ ἐπόθεις, Σοφία μακαρία. Διὸ τῆς Ἀειπαρθένου βοηθείᾳ, πολλῶν πιστῶν ἐφάνης στήριγμα, ἀγάπῃ φιλαδέλφως νουθετοῦσα, καὶ πρὸς τὴν εὐαγγελικὴν ζωὴν πάντας ἐν μετανοίᾳ προτρέπουσα. Ὅθεν ἐν καιρῷ τῆς ἐξόδου, τὴν ἐλεήμονά σου παρέδωκας ψυχήν, τῷ Παντελεήμονι Θεῷ, Ὃν ὑπὲρ ἡμῶν ἐκτενῶς Ὁσία ἱκέτευε.

Ἦχος δ'.

Τὴν τῶν Ἁγίων κοινωνίαν βιοῦσα ἐντεῦθεν ζωηρῶς, νῦν μετ’ αὐτῶν συνευφραίνῃ, τοῦ Παραδείσου γενομένη κληρονόμος, ὁσιωτάτη μῆτερ Σοφία. Θαυματουργίαις δὲ χαριτωθεῖσα, μὴ διαλίπῃς καὶ νῦν ταύτας ἐνεργοῦσα, τοῖς τῶν λειψάνων σου σορὸν πιστῶς ἀσπαζομένοις, καὶ αἰτουμένοις εὐλαβῶς, τὴν πρὸς Κύριον μεσιτείαν σου.

Δόξα. Ἦχος πλ.α'.

Τοῦ Παρακλήτου ἐνεργείᾳ καταπυρωθεῖσα, μακαριωτάτη Σοφία, τὸ ἀσθενὲς καὶ χοϊκὸν σαρκίον σου, ναὸν αὐτοῦ ἀπέδειξας τίμιον, καθαιρομένη προσευχῇ καὶ νηστείᾳ. Τὴν δὲ Παρθένον Θεοτόκον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πλουτήσασα προστάτιν καὶ ὁδηγόν, καὶ ἐν τῇ Μονῇ ταύτης διακονήσασα ἰσοβίως, τετίμησαι ἐπαξίως σὺν τῶν Ἁγίων τῷ χορῷ. Ὅθεν τὸν πολυέραστον Ἰησοῦν καθορῶσα ἐν εὐφροσύνῃ, μὴ ἐπιλάθου τῶν τιμώντων σου τὰ θεοφόρα λείψανα, καὶ αἰτουμένων εὐλαβῶς τὰς μητρικὰς πρεσβείας σου.

Καὶ νῦν, ὁμόηχον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*** ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ***

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, τοῦ Πόντου θεῖος βλαστός, Μονῆς Κλεισούρας ἐν Χριστῷ μέγα καύχημα, καὶ πάντων πιστῶν μεσῖτις, πρὸς τὸν Δεσπότην Χριστόν, Οὗ Ἁγνὴν Μητέρα σκέπην ἔσχηκας. Σοφία θεόσοφε, ἀσκητῶν καὶ ὁσίων τε, βίους καὶ ἆθλα, μιμηθεῖσα κατέβαλες, ὑπομένουσα, τὸν ἀρχαῖον ἀντίπαλον. Ὅθεν ἀγάπης γέγονας, ἐργάτις ἰσόβιος, καὶ φιλαδέλφως ἐδείκνυς, τὸ ὥσπερ δεῖ πολιτεύεσθαι, συμφώνως τῷ νόμῳ, τοῦ σεπτοῦ Εὐαγγελίου, μῆτερ πανάριστε.

Στίχ. *Ὑπομένουσα ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Σάρκα, ἀσκητικῇ ἀγωγῇ, Σοφία μῆτερ παντελῶς ἀπενέκρωσας, καὶ ὅλως ἀφιερώθης, τῆς Παναγίας Μητρός, τῇ διακονίᾳ ὡς ἰσάγγελος. Ἁγίους δὲ ἔσχηκας, συνομίλους τῷ βίῳ σου, ὧν ἐμιμήθης, τὴν ἀγάπην πρὸς Κύριον, καὶ ἐμίσησας, πᾶσαν ὕλης ἀπόλαυσιν· ὅθεν ὡς ὁλοκαύτωμα, Αὐτοῦ ἀναδέδειξαι, καὶ τὴν μετάνοιαν πᾶσι, χάριτι λόγου ἐδίδασκες. Τιμίου Προδρόμου, τὴν φωνὴν ἀναλαβοῦσα, ὡς κῆρυξ ἔνθεος.

Στίχ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαίρει, ἡ τῆς Κλεισούρας Μονή, σεπτῶν λειψάνων τὴν σορόν σου κατέχουσα, Σοφία μῆτερ ὁσία, ἐξ ὧν πλουσίως πιστοί, ἰαμάτων πλῆθος ἀπαρρύονται. Ἐν τούτοις σκηνώσασα, χάρις θεία τοῦ Πνεύματος,
ἀνεκφοιτήτως, ἐνεργεῖ τὰ θαυμάσια, καὶ νοσήματα, θεραπεύονται τάχιστα. Ὅθεν σὺν Θεομήτορι, τὴν ποίμνην φυλάττετε, τὴν ἀσκουμένην ἐνταῦθα, καὶ ἁγιάζετε πάντοτε, πρεσβείαις ἀπαύστοις, πρὸς Τριάδα παναγίαν, καὶ ὑπεράρχιον.

Δόξα. Ἦχος δ'.

Τῇ ταπεινώσει καὶ ἁπλότητι μᾶλλον ἐμφανίζεται ὁ Θεός, ἢ τῇ ἀκάρπῳ πολυγνωσίᾳ, ὡς πατρικῶς δεδιδάγμεθα, καὶ ἐπ' ἐσχάτων πρακτικῶς ἐβεβαιώθημεν, ἐκ τῆς θαυμαστῆς πολιτείας τῆς ὁσίας μητρὸς Σοφίας.
Αὕτη ψευδομώρως τὸν ἀσκητικὸν βίον περαιώσασα, τῶν ὑπὲρ φύσιν ἠξιώθη χαρισμάτων, ἁγιασμόν, μετάνοιάν τε καὶ ὑπομονήν, λόγοις καὶ ἔργοις διδάξασα. Ὅθεν τὴν τῶν σεπτῶν αὐτῆς λειψάνων τὴν ἀνακομιδὴν ἑορτάζοντες, ἐκ ψυχῆς δεόμενοι αἰτούμεθα· χάρισαι πᾶσιν ἡμῖν φιλάδελφε Ὁσία, τὴν σῴζουσαν σοφίαν τοῦ Σταυροῦ, δι' ἧς ἐντεῦθεν τοῦ Παραδείσου, ἐπαξίως κατηξίωσαι.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις· σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κετήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.
Ἀπολυτίκιον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸ θεῖον σκῆνός σου, οἶκος γενόμενον, Ἁγίου Πνεύματος, ἐκβλύζει χάριτας, τοῖς εὐλαβῶς ἀπὸ ψυχῆς, Σοφία ἀσπαζομένοις. Οὗ τὴν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀνακόμισιν, ἑορτάζοντες σήμερον, τὴν Ἁγνὴν δοξάζομεν, καὶ πανύμνητον Δέσποιναν, τὴν σὲ ἐν τῇ Μονῇ τῆς Κλεισούρας, Ὁσίαν μῆτερ ἀναδείξασαν.

Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις

## * ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ *

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Ὡς θεῖον θησαυρόν, σὸν πολύαθλον σκῆνος, Πανάγνου ἡ Μονή, ἐν Κλεισούρᾳ κατέχει, Σοφία ῥεῖθρα ἄφθονα, χορηγοῦν τοῖς προστρέχουσι, καὶ νοσήματα ἀποδιῶκον ποικίλα, τῇ τοῦ Πνεύματος ἀνεκφοιτήτῳ δυνάμει, Ὃ σὲ καθηγίασεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παντάνασσα σεμνή, τὴν ἁγίαν Μονήν σου, περίσκεπε ἀεί, ἐκ παντοίων κινδύνων, καὶ πάντας ἁγίασον, τοὺς ἐν ταύτῃ προστρέχοντας, ὑποβάλλουσα, τὴν πρὸς Υἱόν σου ἀγάπην, καὶ μετάνοιαν, εἰλικρινῆ χορηγοῦσα, σεπταῖς ἱκεσίαις σου.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Φύσιν τοῦ θήλεος, ὑπερετίμησας, ὥσπερ τις ἄσαρκος, Σοφία ζήσασα, ὑπομονὴν ἐν πειρασμοῖς, μεγίστην ἐπιδείξασα, καὶ ἀγάπην ἄδολον, πρὸς τοὺς σοὶ καταφεύγοντας, οὓς σοφῶς ἐδίδασκες, φιλαδέλφως τὰ πρέποντα· διὸ καὶ ὁ Δεσπότης σοῖς λειψάνοις, θαυμάτων χάριν ἐδωρήσατο.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Πάναγνε Δέσποινα, Κλεισουριώτισσα, ὥσπερ ἠξίωσας, τῆς ἁγιότητος, τὴν ἐν Μονῇ σου τῇ σεπτῇ, Σοφίαν τὴν ἀσκήτριαν, οὕτω καταξίωσον, τοὺς σὲ πόθῳ δοξάζοντας, καὶ μορφὴν τιμῶντάς σου, Ὁδηγήτρια ἄνασσα, τοῦ θείου μετασχεῖν Παραδείσου, ταῖς μητρικαῖς σου παρακλήσεσι.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς μωρόσοφος κόσμον ἀπατηλόν, ἐξηπάτησας Μῆτερ ἀσκητικήν, πορείαν βαδίσασα, καὶ Χριστῷ εὐηρέστησας, βοηθείᾳ Πανάγνου, ἣν σφόδρα ἠγάπησας, καὶ ἐν ταύτης Σεμνείῳ, τὸ τῆς συνειδήσεως, ἤνυσας Σοφία, πολυώδυνον ἆθλον, διὸ καὶ ἠξίωσαι, θεϊκῶν ἐπιλάμψεων, δι’ ὧν πλήθη ἐστήριξας, σωμάτων καὶ ψυχῶν ἰατρός, γενομένη, νοσήματα διώκουσα, τῶν προσκυνούντων ἐν πόθῳ, σορὸν τῶν λειψάνων σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Θεοτόκους Παρθένε Μῆτερ ποιεῖς, τοὺς τὸν νόμον τηροῦντας τοῦ σοῦ Υἱοῦ, καὶ τούτους μανδύᾳ σου, μητρικῆς σκέπεις χάριτος, ἐκπληροῖς τὰς δεήσεις, καὶ πάντα αἰτήματα, τὰς ἁγίας σου χεῖρας, ὑψοῦσα πρὸς Κύριον. Ὡς καὶ τὴν Σοφίαν, ὁδηγοῦσα ἐν βίῳ, ἐνίσχυες πάντοτε, καὶ πορείαν κατεύθυνες, μυστικαῖς παραινέσεσιν, ἣν ἔχουσα σὺν σοὶ ἐν Ἐδέμ, μὴ ἐλλίπῃς ὁδηγεῖν τοὺς μέλποντας, σοῦ τὴν δόξαν Κυρία, εὑρεῖν τὸν Παράδεισον.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Ὑπομένουσα ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.
Στίχος· *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

**Εὐαγγέλιον**, τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ὁσίου Σάββα.
Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τῆς σῆς Ὁσίας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Συσταυρωθεῖσα τῷ Δεσπότῃ Χριστῷ, καὶ ἐνδυθεῖσα τὴν ζωοποιὸν Αὐτοῦ νέκρωσιν, ὁσία μῆτερ Σοφία, πλήρης γέγονας τῆς Χάριτος τοῦ Πνεύματος, ἣν ἐκ τῶν τιμίων σου λειψάνων προχεομένην, οἱ πιστοὶ ταῦτα προσκυνοῦντες, μυστικῶς ἀπολαμβάνομεν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

**Ὁ Κανὼν τῆς Ὁσίας, οὗ ἡ ἀκροστιχίς:**
*«Σοφία, ἀνακομιδὴν ὀστέων σου τιμῶμεν. Ἀ(θανάσιος)».*
Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Σοφίαν μοι δώρησαι, τοῦ Παναγίου σου Πνεύματος, ὑμνῆσαι θελήσαντι, τὴν ἀνακόμισιν, γῆθεν Δέσποτα, λειψάνων τῆς ὁσίας, Σοφίας ἣν θαύμασιν, πλείστοις ἐτίμησας.

Ὁδὸν τῆς ἀσκήσεως, σκληρὰν Σοφίαν ἐπέρασας, καὶ φύσιν τοῦ θήλεος, σφόδρα ἐτίμησας, ἔργοις δείξασα, ὑπομονῆς τελείας, δι' ὧν σκῆνος γέγονας, τοῦ θείου Πνεύματος.

Φορέσασα ἔνδυμα, τὸ μυστικὸν ταπεινώσεως, ὀπίσω ἀνέδραμες, τοῦ Ἰησοῦ ψαλμικῶς, ὥσπερ ἔλαφος, Σοφία μακαρία, καὶ εὗρες ἀνάπαυσιν, τὴν ἐπουράνιον.

Θεοτοκίον

Ἰδοῦσα τὸ ἄπλαστον, τὸ τῆς σῆς δούλης καὶ ἄκακον, προσείληφας Δέσποινα, ὑπὸ τὴν σκέπην σου, καὶ ἀνέδειξας, μωρόσοφον Σοφίαν, σεπτὸν καταγώγιον, τῆς ἁγιότητος.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀφήσασα κόσμον καὶ τὰ κόσμου, ὡς σκύβαλα πάντα τὰ τερπνά, Σοφία προετίμησας, σωφρόνως συνειδήσεως, τὸ συνεχὲς μαρτύριον, ἀκαταπαύστου ἀσκήσεως.

Ἀγάπης τῆς θείας πληρωθεῖσα, ὑπέμεινας βίου πειρασμούς, τὴν στέρησιν συζύγου σου, καὶ τέκνου θεωρήσασα, Σοφία ἐφαλτήριον, πρὸς ἐκλογὴν βίου κρείττονος.

Ναὸν τοῦ ὡραίου σώματός σου, Σοφία ἐτήρησας ἁγνόν, σαὐτὴν καταμαράνασα, ποικίλαις προσποιήσεσι, καὶ θείαν ὡραιότητα, ἐπενεδύθης τῆς Χάριτος.

Θεοτοκίον

Ἀγάπης σου βέλει τὴν Σοφίαν, κατέτρωσας Δέσποινα ἁγνή, καὶ ταύτην προσεκάλεσας, προσμένειν τῷ Σεμνείῳ σου, ἐν ᾧ λαμπρῶς ἐτέλεσε, τὴν τῆς σαλότητος ἄθλησιν.

Κάθισμα .Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐκ γῆς πλήρη χάριτος καὶ εὐωδίας πολλῆς, Σοφία ἐφάνησαν τὰ ἱερά σου ὀστᾶ, καὶ βρύσις γεγόνασι, πᾶσι τοῖς ἐρχομένοις, τῇ Μονῇ τῆς Παρθένου, καὶ αἰτουμένων πίστει, προβλημάτων τὴν λύσιν,
ὧν δέχου εὐμενῶς τὰς εὐχάς,
Μῆτερ φιλάδελφε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Σεμνὴ Ὁδηγήτρια, Μονὴν Κλεισούρας ἀεί, τὴν πόθῳ τιμῶσάν σου, τὴν παναγίαν μορφήν, συντήρει ἀλώβητον, πάντας δὲ τοὺς ἐν ταύτῃ, εὐλαβῶς ἐρχομένους, φώτισον ταῖς εὐχαῖς σου, χορηγοῦσα ἑκάστῳ,
τὰ ὅσα ὠφελοῦσι τὰς ψυχάς,
ταῖς ἱκεσίαις σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Κόπασον τὸν σάλον τῶν πειρασμῶν, τῶν κυκλούντων Μῆτερ τοὺς δούλους σου, καὶ τὴν εἰρήνην, ἀντιδώρησαι Χριστοῦ, Ὅστις σε οἶκον δέδειχεν, ταύτης Σοφία ὑπέρλαμπρον.

Ὅλην σου τὴν ἔφεσιν πρὸς Θεόν, ἔστρεψας Σοφία μισήσασα, τὰς ἐκ τῆς ὕλης, τικτομένας ἡδονάς, καὶ καρτερῶς ὑπέμεινας, τὰ τῆς σῆς σαρκὸς ἀσθενήματα.

Μέγα τὸ παράδοξον ἐπὶ σοί, ὅτι χειρουργοί σοι γεγόνασιν, ἡ Θεοτόκος, σὺν τῷ θείῳ Γαβριήλ, καὶ αὖθις σε ὡς πρότερον, ὑγιᾶ Σοφία κατέστησαν.

Θεοτοκίον

Ἱερὰν μορφήν σου καταφυγήν, ἔχομεν Παρθένε ἐν θλίψεσι, βίου τὰ νέφη, διαλύουσαν εὐθύς, ὅταν κατασπαζώμεθα, ταύτην ὥσπερ ζῶσαν ὑπάρχουσαν.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Δαιμόνων κατήργησας, Σοφία τὰ φρυάγματα, σὲ νυχθημερὸν ἐκπολεμούντων, τῇ ἐπικλήσει, τῆς Θεομήτορος, καὶ Ἁγίων Πάντων τοῦ χοροῦ, μεθ' ὧν νῦν ὑπάρχουσα, τῶν τιμώντων σε μνήσθητι.

Ἠλίαν ἑώρακας, Σοφία ἐποχούμενον, ἅρματι πυρίνῳ καὶ ἐλθόντα, ὅτε ἐκλήθη εἰς σὴν βοήθειαν, ὃν καὶ τοῖς τιμῶσί σε πιστῶς, δεῖξον ἀντιλήπτορα, ἐν κινδύνοις καὶ θλίψεσι.

Νοός σου ἐντρύφημα, Σοφία ἀδιάλειπτον, ἦν ἡ τοῦ Δεσπότου θεία μνήμη, Ὃν ὑπὲρ κόσμου, παντὸς ἱκέτευες, δάκρυσι πολλοῖς καρδιακοῖς, ὅπως ὄμμα εὔσπλαγχνον, ἐπιδείξῃ τοῖς πταίουσιν.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὁδήγησον Ἄχραντε, τοὺς ὅσοι ἀσπαζόμεθα, ἐν Μονῇ Κλεισούρας σὴν εἰκόνα, εἰς σωτηρίαν, ὥσπερ ὡδήγησας, ἀσφαλῶς Σοφίαν τὴν σοφήν, καὶ πιστὴν διάκονον, περιπύστου Σεμνείου σου.

Ὠιδὴ Ϛ'. Τὴν θείαν ταύτην.

Σοφῶς Σοφία τὴν κλῆσίν σου, ἀπέδειξας τοῖς ἔργοις ἰσότιμον, Σταυροῦ μωρόσοφον, ἐκλεξαμένη τὴν βίωσιν, δι' ἣν παρὰ Κυρίου, τρανῶς δεδόξασαι.

Τὸ παρὰ φύσιν διέφυγες, τὴν φύσιν ὑπὲρ φύσιν μετέβαλες, Σοφία ἔνδυμα, ἐνδυσαμένη τῆς Χάριτος, ἧς τὴν ὀσμὴν ἡ φύσις ἀλόγων ᾔσθετο.

Ἑστίαν ἔσχηκας κλίνην σου, Σοφία ἐν ᾗ δείπνου ἡτοίμασας, μέλλοντος μέθεξιν, οὗπερ τρυφῶσα τιμῶντάς σε, ἀξίωσον μεθέξειν Χριστῷ πρεσβεύουσα.

Θεοτοκίον

Ὡραῖον κάλλει ὑπέρκαλλον, ἐκύησας Χριστὸν Παναμώμητε, Οὗπερ ἐβλήθησαν, τῷ γλυκερῷ βέλει Ἅγιοι, ἐν οἷς καὶ ἡ Σοφία, θῦμα ἐγένετο.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν παλαιῶν ὁσίων ἄθλους Σοφία,
ἀσκητικῇ σου καὶ σκληρᾷ πολιτείᾳ,
ἐσχάτως ἀνεβίωσας Κλεισούρας τῇ Μονῇ,
ἔνθα ὅρους φύσεως ὑπερέβης θηλέων,
Θεοτόκον ἔχουσα κραταιάν σου προστάτιν,
καὶ ἡγιάσθης Χάριτι Θεοῦ,
ἣν μεταδίδως,
πιστοῖς τοῖς λειψάνοις σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ὁ Οἶκος**
Ἰησοῦν τὸν Χριστόν, Μῆτερ, ἔθηκας,
πανσοφρόνως ὡς κέντρον τοῦ βίου σου,
Ὅστις χθὲς ὁ Αὐτὸς ἔστι καὶ σήμερον,
ὑφ' ἑνὸς ἑκάστου τῶν πιστῶν λατρευόμενος.
Τοῦτον ποθοῦσα ὡς ἔλαφος, εὗρες καὶ σὺ Σοφία
ἐν τῷ τῆς Πανάγνου Αὐτοῦ Μητρὸς Σεμνείῳ ἀσκήσασα,
ἔνθα τοῖς ἴχνεσι τῶν ἀρχαίων ὁσίων πορευθεῖσα,
ἠξιώθης γενέσθαι οἰκητήριον τῆς Πανσέπτου Τριάδος
καὶ εἴληφας πλουσιοδώρως τὴν θεωτικὴν χάριν,
ἣν μεταδίδως,
πιστοῖς τοῖς λειψάνοις σου.

*Τὸ Συναξάριον*

**Τη Ζ' τοῦ μηνὸς Ἰουλίου ἑορτάζομεν τὴν εὕρεσιν καὶ ἀνακομιδὴν τῶν τιμίων λειψάνων τῆς ὁσίας μητρὸς ἡμῶν Σοφίας, τῆς ἐν τῇ Ἱερᾷ Μονῇ Γενεθλίου τῆς Θεοτόκου Κλεισούρας ἀσκητικῶς βιωσάσης.**

Στίχοι
Ὑπὲρ χρυσὸν ὄβρυζον Μονὴ Κλεισούρας
Τὰ σεπτά σου λείψανα πλουτεῖ, Σοφία.
Γῆθεν θησαυρὸς κεκόμισται Σοφίας σκῆνος.

*Ὑπόμνημα*

Ἡ ὁσία μήτηρ ἡμῶν Σοφία, ὡς ὁ κατὰ πλάτος βίος αὐτῆς λεπτομερῶς ἐξιστορεῖ, θεοφιλῶς μεγάλοις κατορθώμασιν ἀσκήσασα ἐν τῇ Ἱερᾷ Μονῇ Θεοτόκου Κλεισούρας Καστορίας, ἐκοιμήθη ἐν Κυρίῳ τῇ 6η Μαΐου 1974. Μετὰ δὲ τὴν παρέλευσιν ἑπτὰ ἐτῶν, κατὰ τὴν 7ην Ἰουλίου 1981, ὑπ' ὀλίγων εὐλαβῶν προσώπων ἐγένετο ἡ ἀνακομιδὴ τῶν τιμίων λειψάνων αὐτῆς, ἀναδοθείσης κατὰ τὴν διάρκειαν ταύτης ἐξαιρέτου εὐωδίας ἐκ τοῦ ἀνοιγέντος τάφου. Μετὰ τὸν καθαρισμὸν καὶ τὴν πλῦσιν τὰ ἅγια λείψανα ἐτοποθετήθησαν ἐν ἁπλῷ ξυλίνῳ κιβωτίῳ καὶ ἐπανεφυλάχθησαν ἐντὸς τοῦ μνήματος. Οὕτω, κατὰ τὴν 27ην Μαΐου 1998 ἀνοιγέντος τοῦ τάφου

ἐπανευρέθησαν καὶ μετεκομίσθησαν πρὸς ἀσφάλειαν, εὐλογίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Καστορίας κ.Σεραφεὶμ καὶ μερίμνῃ τῆς κατὰ τὸ ἔτος 1992 ἐγκατασταθείσης γυναικείας Ἀδελφότητος τῆς Ἱερᾶς Μονῆς, καὶ διαφυλάσσονται ἔκτοτε ἐπιμελῶς τοποθετηθέντα ἐντὸς λειψανοθήκης, ἐπιτελοῦντα πλεῖστα ὅσα θαύματα καὶ ἰάσεις ψυχῶν τε καὶ σωμάτων τοῖς προσκυνοῦσι ταῦτα ἐν πίστει καὶ εὐλαβῶς ἐπικαλουμένοις τὰς πρὸς Κύριον μεσιτείας τῆς Ὁσίας Μητρός.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας ἐνδόξου παρθενομάρτυρος Κυριακῆς.**

*Στίχοι.*

*Κυριακὴ θανοῦσα τὴν τομὴν φθάνει,*
*Προαιρέσει, πλὴν καὶ τελειοῦται ξίφει.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ.**

*Στίχοι.*

*Διεὶς πτέρυγας, εἶπεν ἂν Μωσῆς, Πάτερ,*
*Ὡς ἀετός τις ἐξανέπτης πρὸς πόλον.*
*Ἑβδομάτῃ Θωμᾶν θάνατος μέλας ἔμφρονα εἷλεν.*

**Μνήμη τῶν ἁγίων μαρτύρων Περεγρίνου, καὶ τῶν σὺν αὐτῷ, Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου, Παππίου, Σατορνίνου καὶ Γερμανοῦ, τῶν ἐν Δυρραχίῳ ἀθλησάντων.**

*Στίχοι.*

*Σὺν ἓξ κατῆλθεν εἰς βυθὸν Περεγρῖνος,*
*Ἀθλήσεως ἐκεῖθεν ἀγρεύσων στέφος.*

**Μνήμη τῶν ἁγίων μαρτύρων Εὐσταθίου, Πολυκάρπου καὶ Εὐαγγέλου.**

*Στίχοι.*
*Πρὸς εὐστάθειαν καρδίας Εὐσταθίου*
*Καὶ πῦρ συρῖζον ἠρεμοῦν ὤφθη ὕδωρ.*

*Οὕτως ὄναιο σῶν, σφαγεῦ, θελημάτων*
*Σφάττειν τάχει με τὸν Πολύκαρπον θέλων.*

*Εὐάγγελος τὸ θεῖον ἐκ ξίφους τέλος*
*Εὐαγγελισμὸν εἶχε τοῦ θείου στέφους.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας πριγκιπίσσης τῆς Μόσχας Εὐφροσύνης (+1407).**

*Στίχοι.*
*Εὐφροσύνης νῦν χωρίον Εὐφροσύνη,*
*Οἰκεῖ ὡς βαστάσασα λύπας τοῦ βίου.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Νόσους πάνσεμνε, Σοφία ἀπεδίωκες, ψυχῆς καὶ σώματος, πρεσβείαις σου πρὸς Χριστόν, καὶ βίου διόρθωσιν, πᾶσιν ἐκήρυττες, ὡς ὁ Πρόδρομος, ὁ τῆς ἐρήμου ἄγγελος, οὗ τοὺς τρόπους ἐμιμήθης.

Στηλογράφημα, νηστείας καὶ ἀσκήσεως, ἐσχάτοις ἔτεσιν, ἐγένου ὑπερφυῶς, ὡς σάρκα μὴ ἔχουσα, καὶ τὰ οὐράνια, μόνον θέλουσα, ὧν περ τυχοῦσα μνήσθητι, τῶν τιμώντων σε Σοφία.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οἱ ἐπίγεια, φρονοῦντες κατεφρόνουν σε, μωρὰν νομίζοντες, Σοφία τὴν τοῦ Σταυροῦ, ὁδὸν τὴν σωτήριον, στεῤῥῶς βαδίζουσαν, καὶ ἑκούσιον, ἄσκησιν προτιμήσασαν, τὴν θεοῦσαν τοὺς ἀνθρώπους.

Θεοτοκίον

Ὑπερύμνητε, Κυρία Ὁδηγήτρια, Μονῆς σου καύχημα, ὁδήγησον καὶ ἡμᾶς, καθώσπερ ὡδήγησας Σοφίαν πάνσεμνον, πρὸς κατάκτησιν, αἰώνιον καὶ ἄσειστον, ποθουμένου Παραδείσου.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.

Τρόπους βιοτῆς ἀσκητικῆς σου, ἐθαύμασαν ἄγγελοι καὶ ἄνθρωποι, ὅτι ὡς μὴ ἔχουσα, σάρκα πεπολίτευσαι, Σοφία καὶ ἐνίκησας, τὰς προσβολὰς τοῦ ἐχθροῦ, καὶ λαβοῦσα, χάριν θείου Πνεύματος, ἀσθενείας πολλῶν ἐθεράπευσας.

Ἵνα τὸν Παράδεισον κερδήσῃς, ἠρνήσω σαρκὸς Σοφία ἄνεσιν, ἔχουσα ἀπόλαυσιν, ἄσκησιν ὑπέρμετρον, εὐχὴν τὴν ἀδιάλειπτον, νηστείαν σύντονον, Ἁγίων συνεχῆ κοινωνίαν, καὶ Μητρὸς Παρθένου, γλυκεῖαν προστασίαν.

Μάρτυς ἀθλημάτων σου Σοφία, Μονὴ τῆς Παρθένου Κλεισουριώτισσας, ἔνθα πλήθη εἵλκυες, βίον σου θαυμάζοντα, καὶ πρὸς Χριστοῦ ἀγάπησιν, λόγοις προέτρεπες, βαστάζειν πειρασμοὺς καὶ τὰς θλίψεις, καὶ ἐν μετανοίᾳ, εἰλικρινεῖ ὁδεύειν.

Θεοτοκίον

Ὥσπερ τις τρυγὼν Σοφία εὗρε, Μονὴν ἱεράν σου καταφύγιον, ἔνθα Παναμώμητε, ὑπὲρ φύσιν ἤσκησε, καὶ θείαις παρακλήσεσιν, αἷς κατεγλύκανες, πικρίαν τοῦ ἐχθροῦ Θεοτόκε, χαίρουσα εἰσῆλθεν, εἰς χώραν Παραδείσου.

Ὠιδὴ θ'. Ἅπας γηγενής.

Μείζω ὅσα νῦν, Σοφία εὐφραίνουσι τὴν καθαράν σου ψυχήν,
ὑπὲρ ὅσας ἔζησας, θλίψεις καὶ κόπους διὰ τὸν Κύριον, Ὧι μὴ ἐλλίπης
πάντοτε Ὁσία εὔχεσθαι, ὑπὲρ πάντων, τῶν εὐλαβουμένων σε,
καὶ σορὸν προσκυνούντων λειψάνων σου.

Ἔχει ἡ Μονή, Ἁγνῆς Κλεισουριώτισσας πνευματικοὺς θησαυρούς, τὸ
σεπτὸν εἰκόνισμα, Ὁδηγητρίας καὶ τῶν λειψάνων σου, Σοφία θήκην
βρύουσαν, πιστοῖς ἰάματα, ἃ παρέχει, ὁ δοξάζων ὁ Κύριος,
τοὺς Ἁγίους Αὐτοῦ ὡς ὑπέσχετο.

Νῦν τε καὶ ἀεί, ὡς Μήτηρ πολύτεκνος ἡ Ἐκκλησία Χριστοῦ,
χάριτι τοῦ Πνεύματος, γεννᾷ Ἁγίους πιστοὺς στηρίζοντας,
καὶ βεβαιοῦντας πράγματι, ὅτι ἐντάλματα, τοῦ Δεσπότου,
κατορθοῦνται ἅπαντα, ὡς Σοφία ἐσχάτως ἀπέδειξεν.

Θεοτοκίον

Αἴνους καὶ ᾠδάς, προσάγομεν Ἄνασσα σὲ μεγαλύνοντες, καὶ
καθικετεύομεν, τὴν ἱεράν σου Μονὴν περίσκεπε, καὶ μοναζούσας
Δέσποινα οἴκους ἀνάδειξον, τοῦ Ἁγίου, Πνεύματος ὡς ἔδειξας,
τὴν Σοφίαν ἁγίαις πρεσβείαις σου.

Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν

Ἐτήρησας ὡς ἔπρεπε, Μῆτερ τὸ κατ᾽ εἰκόνα, ὅθεν τοῦ καθ᾽ ὁμοίωσιν,
ἔτυχες ἐπαξίως, δοχεῖον ἀναδειχθεῖσα, δωρεῶν τοῦ Δεσπότου,
ὁλοτελῶς σε δείξαντος, ὄργανον θαυμασίων, ἅπερ τελεῖς,
καὶ διὰ λειψάνων σου τῶν τιμίων, Σοφία τοῖς προσπίπτουσι,
τούτοις μετ᾽ εὐλαβείας.

Θεοτοκίον, ὅμοιον.

Ὁδήγησον Πανάχραντε, εἰς ὁδοὺς σωτηρίας, τοὺς τὴν σεπτὴν εἰκόνα
σου, προσκυνοῦντας ἐν πίστει, καὶ οὐρανοῦ ὑπάνοιξον,
πύλας αὐτοῖς Υἱόν σου, τὸν ἀγαθόν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μητρικαῖς εὐχαῖς σου ἐξιλεοῦσα, καὶ τὴν Μονήν σου σκέπασον, ἐξ ἐχθροῦ ἐπηρείας.

*** ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ ***

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τοῦ παραδόξου θαύματος! ἐν τοῖς ἐσχάτοις καιροῖς, τῶν ἀρχαίων ἐφάμιλλος, ἀσκητῶν ἐγένετο, τῇ δυνάμει τῆς Χάριτος, γυνὴ τὴν φύσιν ἐξαϋλώσασα, καὶ πνεῦμα μᾶλλον ἢ σάρκα φέρουσα, ὥσπερ ἀσώματος, ἄσκησιν ὑπέρμετρον καὶ ταπεινόν, ἔχουσα τὸ φρόνημα, Σοφία πάντιμος.

Σοφία μῆτερ τὸ πήλινον, σκεῦος σαρκὸς ἀσθενές, τῷ πυρὶ θείου ἔρωτος, ὡς χαλκοῦν ἀπέδειξας, ἀσωμάτους ἐκπλήξασα· ἐν τῇ νηστείᾳ ἀκαταπόνητος, ἐν ταῖς εὐχαῖς σου στύλος ἀκλόνητος, ἐν φιλαδέλφῳ σου, ἀγωγῇ ἀμίμητος, ἐν πειρασμοῖς, καρτερὰ καὶ ἄσειστος, ὡς τεῖχος ἄῤῥηκτον.

Ὥσπερ τρυγών τις φιλέρημος, τὴν τῆς Κλεισούρας Μονήν, εὗρες Μῆτερ κατοίκησιν, τῆς Ἁγνῆς Θεόπαιδος, δεξαμένη ὑπόδειξιν. Ἔνθα διῆλθες τοῦ βίου στάδιον, ἐνασκουμένη, σκληραῖς ἀσκήσεσι, πᾶσι κηρύττουσα, σωστικὴν μετάνοιαν λόγοις σοφοῖς, οὓς σοι ὑπηγόρευε, Πνεῦμα τὸ Ἅγιον.

Μαρτυρικῶς καθυπέμεινας, ὑπομονῇ θαυμαστῇ, τὰς πυκνὰς ἀσθενείας σου, καὶ σφοδρὸν κλυδώνιον, τοῦ ἐχθροῦ ἐπιθέσεων, ὡς ὅπλον θεῖον τῆς Θεομήτορος, τὴν προστασίαν, Σοφία ἔχουσα, Ἥτις λειψάνοις σου, τῆς διακονίας σου ὥσπερ μισθόν, πολλὴν χάριν δέδωκεν, ἣν ἀρυόμεθα.

Δόξα. Ἦχος ὁ αὐτός.

Τὴν ζωοποιὸν νέκρωσιν τοῦ Σταυροῦ, ἐν τῷ ἀσκητικῷ σου σώματι περιφέρουσα, γέγονας σωφρονεστάτη Σοφία, οἶκος λαμπρὸς τῆς τοῦ Ἁγίου Πνεύματος θείας χάριτος. Ὅθεν καὶ μετὰ τὴν μακαρίαν ἔξοδόν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σου, αὕτη οὐκ ἀπέστη, ἀλλ' ἀνεκφοιτήτως παραμένουσα, ἐνεργεῖ τὰ θαυμάσια, διὰ τῶν σεπτῶν σου λειψάνων, ὧν τὴν ἀνακομιδὴν χαρμοσύνως ἑορτάζοντες δεόμεθά σου· ἀνάδειξον καὶ ἡμᾶς τοὺς εὐλαβῶς τιμῶντάς σε, οἴκους φωτεινοὺς τῆς Παναγίας Τριάδος, ὁσία Μῆτερ, πολύαθλε καὶ πανσεβάσμιε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν
Ἀπόστολος, ὁ τοῦ Τιμίου Σταυροῦ(14ης Σεπτεμβρίου)

Εὐαγγέλιον, τῶν Δέκα Παρθένων.

*Μεγαλυνάρια*

Ὥσπερ πολυτίμητος θησαυρός, ἐκ τῆς γῆς ἐξῆλθον, τὰ ὀστᾶ σου Μῆτερ σεμνή, ἅπερ προσκυνοῦντες, ἐν τῇ Μονῇ Κλεισούρας, λαμβάνομεν Σοφία, χάριν τοῦ Πνεύματος.

Χαίρει Θεοτόκου σεπτὴ Μονή, ἔχουσα ἐν κόλποις, τῶν λειψάνων σου τὴν σορόν, πάνσοφε Σοφία, ὡς κρήνην ἰαμάτων, ἥτις προχέει ῥεῖθρα, τῆς θείας Χάριτος.

Τῶν σεπτῶν λειψάνων σου τὴν σορόν, τιμῶντες Σοφία, ἀρυόμεθα δαψιλῶς, χάριν ἰαμάτων, καὶ νόσων θεραπείαν, δοξάζοντες ἐκ πόθου, τὸν σὲ δοξάσαντα.

Στίχοι

*Σεπτά σου λείψανα πιστοὺς προσκυνοῦντας,*
*Χριστοῦ σοφίᾳ, σόφισον, ὦ Σοφία.*